καθ᾽ ἡμᾶς· καὶ ὡς ἀγενεαλόγητος τὸ ἄνω· τὴν
γενεὰν αὐτοῦ φησὶ τίς διηγήσεται· καὶ ὡς βασι
λεὺς σαλήμ· εἰρήνη δὲ τοῦτο· καὶ ὡς βασιλεὺς δι
καιοσύνης· καὶ ὡς ἀποδεκατῶν πατριάρχας·
κατὰ τῶν πονηρῶν δυνάμεων ἠριστευκότας· ἔ
χεις τὰς τοῦ υἱοῦ προσηγορίας· βάδιζε δι᾽ αὐτῶν·
ὅσαι τε ὑψηλαὶ θεϊκῶς· καὶ ὅσαι σωματικαὶ
συμπαθῶς· μᾶλλον δὲ ὅλον θεϊκῶς· ἵνα γέ
νῃ θεὸς κάτωθεν ἀνελθὼν· διὰ τὸν κατελθόντα
δι᾽ ἡμᾶς ἄνωθεν· ἐπὶ πᾶσι καὶ πρὸ πάντων
ἐκεῖνο τήρει· καὶ οὐκ ἂν σφαλήσῃ ἐν τοῖς ὑ
ψηλοτέροις ἢ ταπεινοτέροις ὀνόμασιν· ἰσ
χ(ριστὸ)ς χθὲς καὶ σήμερον σωματικῶς· ὁ αὐτὸς πν(ευματι)
κῶς καὶ εἰς τοὺς αἰῶνας ἀμήν :–

## † περὶ τοῦ ἁγίου πν(εύματο)ς :–

Ὁ μὲν δὴ περὶ τοῦ υἱοῦ λόγος, τοιοῦτος· καὶ οὕ λό. κ´
τω διαπέφευγε τοὺς λιθάζοντας· διελθὼν φλ ιγ
διὰ μέσου αὐτῶν· ὁ λόγος γὰρ οὐ λιθάζεται· λι
θοβολεῖ δὲ ὅταν ἐθέλῃ· καὶ σφενδονᾷ θηρία·
λόγοις κακῶς τῷ ὄρει προσιόντας· τί δαὶ
Εἴποις φασὶ περὶ τοῦ ἁγίου πν(εύματο)ς· πόθεν ἡμῖν
ἐπεισάγεις ξένον θ(εὸ)ν καὶ ἄγραφον· τοῦτο ἤδη καὶ
οἱ περὶ τὸν υἱὸν μετριάζοντες· ὅπερ γὰρ ἐπὶ τῶν
ὁδῶν εὑρεῖν ἔστι καὶ τῶν ποταμῶν· σχιζόμενα τε
ἀπ᾽ ἀλλήλων καὶ ἐς ἀλλήλους συνάπτονται· τοῦτο